Transkrybowany tekst pochodzi z greckiego kodeksu hagiograficznego, należącego do zbiorów Walters Art Museum w Baltimore. Tekst jest Żywotem św. Neofita z Nicei i należy do tradycji cesarskiego menologionu. W katalogu Pinakes rękopis zawiera ten utwór jako Passio Neophyti martyra Nicaeae (BHG 528b). Pismo manuskryptu wskazuje na pochodzenie z okresu średniobizantyńskiego, najprawdopodobniej z XI lub XII wieku.

Strona 392

Kolumna lewa:

+ άθλησις τοῦ ἁγιου καὶ ἐνδόξου μεγαλομαρτυρος νεοφυτου+

πολλοῖς μὲν ἡ νικαέων πολις καὶ ἄλλοις λαμπρύνεται· ὅτι τε τοὺς πρώτους τῆς εὐσεβείας προμαχὸς τοὺς θείους λέγω πατέρας ἑαυτὴν συνηγάιο· καὶ ὅτι τὰ δόγματα τῆς ὀρθῆς πίστεως πρώτη καλῶς δοξαμένη· καὶ ταῖς πανταχού τῆς οἰκουμένης δι’αὔτων διεπέμψατο πόλεσιν· ἐῶ γὰρ λέγειν τειχων τε στερρότητα· καὶ θέσεως αὐτης κοσμιότητα·

Kolumna prawa:

πληθος τε οἰκητόρων, καὶ τὴν ἐν καλωτων ὡρῶν οἰκοδομὴν καὶ καθίδρυσιν·

τούτοις μὲν οὖν ὡς ἔφην· αὐχει πᾶσι καὶ ἐναβρύνεται τὸ δὲ μέγξον αὐτῆ τὸ κλεος, καὶ τὴν δόξαν περιποιούμενόν τε καὶ μνηστευόμενον· ὁ ἐν μάρτυσιν· οἱ άυτις ἥλιος ἐν ἄστρασι φαιδρὸν καὶ ἥδιστον ἀπο λάμπων νεόφυτος· ταύτης γαρούτος χρηματιζει καρπος· νεόφυτος· ὁ ἐν νεω πάνυ καὶ ἀπαλωσωματι· τὸν παλαιὸν τὴν κακίαν καταβαλὼν ἡμῶν…

Strona 393

Kolumna lewa:

…πολεμη τορά· φυτον γὰρ

πολεμὴ τορά· φυτον γὰρ εὐσεβων γονεων γενόμενος· θεόδωρος καὶ φλωρεντιὰ τουτοὶς ἡν τὰ ὀνοματα, νεῶσας ὤφθη ἐκ πρώτης ἑαυτῶ τῆς ἡλικίας τῶν ἀρέτων τὰ νεωματα· πείρας τὲ εἰς δικαιοσυνην καὶ τοὺς καρπους ἐν ἀσφαλεῖ ταμιειωτοῖς οὐνοῖς καταθέμενος. ὡς προϊων ὁ λόγος διδάζει σαφέστερον· ἡ δη μὲν γὰρ γεμνηθεῖς καὶ τῶ θείων βαπτίσματι ἀναγεννηθεις ἐπεὶ τὴν φρονοῦσαν ἀπελαβεν ἡλικίαν, εἰς διδασκάλου φοιτᾶν ὑπὸ τῶν γεννητόρων προτρέπεται καὶ γνῶσιν μαθημάτων ἐμπορεύόμενος· οὐδὲν ἡττον καὶ ἀρετῆς ἐπεμελετο· ἀπὸ γραμμῆς ὡς ἄντις εἰποι· καὶ τοῦ βίου τῶν προοιμίων. καὶ τὴν κτησιν αὐτῆς ἀσπασάμε…

Kolumna prawa:

…νος· ἕνατὸν γὰρ ἄγωνετος της ἡλικίας, τοὺς σμφοιντητὰς ἐξεπαίδευε τὴν εὐσέβειαν· καὶ πᾶν εἴτι καλὸν καὶ θεῶ φίλον. ὑπετίθει ποιεὶν δα τὰς αὐτῶ χρηματίσας οὐ κατὰ τὸν σαμουηλ πρὸ γενέσεσως· ἀλλέκτης ἰδιὰς μαλιστα προαιρέσεως· ἐν θέντοι καὶ μέγιστων παιδόθεντω χαρισμάτων ἡ ξίωται·

τροφὴν μὲν γαρ τὴν παρὰτων γονέων τούτω διδομενην. ἑαυτῶ τε καὶ τῶν συσχόλων παίδων τοῖς ὀρφανίαν δυστυχοῦσιν ἀπενεμε· συσσίτους τὲ αὐτοῦ φιλάνως τούτους ποιουμενος: ποτὸν δὲ παραδόξως ἐκ πέτρας αὐτοῖς, ἅπαξεκαστης ἡμέρασ χορήγων ἦν ὁ μακάριος· μωσαϊκήν τινα θαύματουρ αντέλων. ὡς ἐντεῦθεν γνωσθήσαται· προς γαρ…

Strona 394

Kolumna lewa:

…τῶ τῆς πόλεως τείχει τοῖς παισίσυναμα γινόμενος· καὶ τῶν ἐν αὐτωλίθων ἕνα τῆ χειρὶ κρόων. ὐδωρεκ πέμπειν ἐ ποίει φρικτῶς· ἡ διστόντεπιεῖν. καὶ κάλλιστον ὄντως ἰδεῖν· τὸ δὲ παραδοξότερον· ὅτι οὓς ἔτρεφε παῖδας· καὶ τῶ ὕδατι τούτω ἐπότιξεν. οὐδενὸς εἰχο ἑτέρου χρείαν βρώματος ὅλως ἢ πόματος· τοῖς παρ’ αὐτοῦ μόνοις ἀρκουμενοι· καὶ ὡς πολυτελεί πανδαισία τε καὶ φιλοτησία. τούτοις ἑνευ φραινόμενοι· τοιαύτα θαυμαστῶς τελῶν· ὁ θαυμαστὸς νεανίας νεόφυτος ἄγνωστα τοῖς ὁ μηλιξιπα ρ’ ἑαυτοῖς ταῦτα κατέχειν ἐκέλευε·

Ἀλλ’ὁ πάντων πάτηρ διὰ φιλαθρωπίαν ὑπάρχων καὶ θεὸς ἀγαθὸς, καὶ τῇ τούτου μητρί

Kolumna prawa:

δι’ ὀνειράτων φανερὰ καθίστησι· τὰ μὴ γωνίας· φωτὸς δὲ μᾶλλον ἐπάξια· ὄρθρου δὲ ἀναστᾶσα· καὶ τῆ κλίνη τοῦ θείου παιδὸς ἐπιστᾶσα· περιστερὰν ὠξένου θεάματας· ἄνωθεν ἐπικαταπτᾶσα ὁρᾶ· καὶ τὴν κλίνην τοῦ υἱοῦ κύκλω περιπετομενην· καὶ καλῶς περιεπουσαν· φόβωδὲ συσιθεῖσα μεγάλω ἅτε καὶ ἀνίνως περιστερᾶς φθεγγομένης καὶ τὰ κατατὸν ἅγιον διδασκούσης, πρηνὴς εἰς γῆν καταβάλλει καὶ τὴν ψυχὴν ἀφαιρεῖται παραυτίκα. τῆ ἐξαισίαταύτη θεωρία θανοῦσα·

οὐχ ὡς ἄν τις ὑπολάβοι τοιαύτης ὄψεως καὶ φωνῆς ἀναξία τυγχάνουσα την δὲ του υἱου ἀρετὴν. τοὺς ἀγνοοῦντας πάντας· νευματιθείω διδάξαι ὀφεί…

Strona 395

Kolumna lewa:

…λουσα· πολλοῦ γὰρ ὄχλου συνδραμόντος ὡς περεικος· καὶ τοῦ πατρος αὐτοῦ κοπτομένου τὴν της γυναικὸς ἀωροντελευτὴν· ὁ καλος τῶ ὀντινεόφυτος· καλὰ τὰ τροφεῖα τοῖς καλοῖς πάντως γονευσι διὰ τῆς πρὸς θεόν παρρησίας. ηξιωμένος ἀποδιδόναι· τὴν μρα· θᾶττον ἢ τὸν ὑπνοῦντα. εὐχῆ μόνη διανιστά· τοῦτο τὸ θαυμαστὸν καὶ παράδοξον ἑνέα γενόμενος ἔτη, ὁ θειος νεόφυτος κατεπράξατο· δεκάτου δὲ της ἡλικίας ἤδη χρόνου ἀ ψάμενος· τὸ τοῦ ὀλύμπου ὅρος θεόθεν κινούμενός τε καὶ ὁ δηγούμενος ἄνεισιν· ἐπεὶ καὶ τὴν ὁραθεῖσαν τῆ μητρί περιστερὰν. μεθ’ ἑαυτοῦ προοδοποι οὖσαν ἔχων ἐδείκνυτο·

Ἐν δὲ τῶν ἐκεῖσε σπηλαίω…

Kolumna prawa:

…εἰς δύς· ὁ λέοντος ὑπάρχον διατριβὴ· τῆ τῆς περιστερᾶς εἰσελεύσει· καὶ τῆ τοῦ θηρὸς ἐκχωρήσει· κατοικίαν ὁ μακάριος ἐποιησατο. δι’ ὅλου τοῦ δεκατου χρόνου· ἐν αὐτῶ δίητατο· τὴ ἀσκήσει τῶν ἀγαθῶν ἁπάντων προσκείμενος· καὶ ἀναβάσεις ἐν τῆ καρδία διατιθέμενος· ἀγγέλου περὶ δείλην ὀψίαν ὀσημεραι τροφὴν τούτω κομίζοντος· ἐν δεκάτου δὲ τῆς ἡλικιας αὐτῶ· δια γεγονότος ἑνιαυτοῦ· ὑπὸ ταύτην ἐκεινούτην πρωτην ἡμέραν· δια ποκαλύψεως θεῖας ἐκ λιπὼν τὸ ὁρος· εἰς τὸν ἴδιον οἶκόν φοιτα· καὶ τους γεννησάντας ἀσπασάμενος· καὶ ἐκ τῶν ὑπαρχόντων αὐτοῖς· ἐπὶ πολλαῖς ἡμεραις…

Strona 396

Kolumna lewa:

…πολλα χορηγήσας τοῖς ἑνδε ἑσιν. αὐθις τῶ ρηθέτι ὄρει προς βαίνει· καὶ διέτριβεν ἐν ᾧ καὶ πρωην σπηλαίω· τῆς προτερας ἀπολαύων ἡσυχίας· καὶ πάλιν ἀγγελου διακονοῦντος αὐτῶ, τῆς θειας ἐκείνης μετέχων τροφῆς· ἀμβροσίας δὲ μαλλον εἴπειν οἰκειότερον· ταύτη δ’ ἐτρέφετο. ἐφ ὅλοις ετεσι πέντε σχεδόν· ἐφ’ ὅσοις δηλονότι καὶ τὸ ὁρος αὐτὸν διαιτώμενον εἰχεν· ὡς συνάγεσθαι τούτω

τὰ πάντα της ἡλικίας ἔτη. πέντε πρὸς τοῖς δέκα· τὰ δὲ τοῦτων ἐξῆς· διωγμὸς κατὰ χριστιανων χαλεπὸς καὶ βαρύστατος· διοκλητιανοῦ καὶ μαξιμιανοῦ τὴν ῥωμαίων βασιλεῖαν ἐχόντων· τῶν τοῦ ἀληθοὺς βασιλέως χριστου…

Kolumna prawa:

…πολεμίων καὶ δυσμένων· γράμματάτε αὐτῶν καὶ προθέματα καθ’ ὅλης της ὑπηκόου· τὰ διακελεύομενα πασιθυσίας προσφέρειν τοῖς μὴ οὐσιθεοῖς· ἡ, κακῶς του ζῆν ἀπακάττεσθαι· δεκίου δέ τινος ἀνδρὸς μιαροῦτε καὶ δεισιδαίμονος τὴν βιθυνὼν ἡγεμονίαν πεπιστευμένου· καὶ σφοδές τοις πίστοις ἐπιτιθεμένου· βασανους τέδεινας καὶ ἀφορήτους κατ’ αὐτων ἐπινοουμένου. ὁ γενναῖ τοῦ χριστου στρατιώτης νεόφυτος· προπροπὴ τοῦ τρεφοντος καὶ φρουροῦντος ἀγγέλου τοῦ ὅρους ἀπάρας, εὐθὺ τῆς νικομηδέων ἐχωρει· τῆδὲ γὰρ ὁ ἀσεβὴς ἡγεμῶν διετριβε δέκιος, θυσιάζων τοῖς δαίμοσιν·

Ω δὴ καὶ κατ’ ὄψιν γενόμενος πεπαρρησιασμενήβ ψυχη…

Strona 397

Kolumna lewa:

…καὶ φωνῆ· κατωνεί διξετὴν ἀσέβειαν· ὑβρεσί τεπλύνων πολλαῖς, καὶ σκοτους υἱόν τε καὶ κληρονομον· ἐπὶ πολλῶν τῶν συνειλεγμένων ἀποκαλῶν·

οθεν καὶ τὸν ἐκείνου θυμὸν. ἐφ’ ἑαυτὸν ὅλον ἐξεκαλέσατο· παρευθὺ γὰρ κρεμασθέντα, βουνευροις ἐκέλευεν ὁ κατάρατος τὸν μακάριον τύπτεσθαι· ἐπὶ τοσοῦτον, ἕως μίαν τούτω πληγὴν τὸ σῶμα εἰργάσατο; εἰ τὰ κρᾶμα γενέσθαι προς τάξας ὅξους τε καὶ ἅλμης πολύ του μάρτουρος ὅλου καταχεαι τοῖς ὑπηρετουμένοις ἐπέτρεπεμη οὐδὲ γὰρ ἐλεον ὅλως ἐλάμβανεν οὕτως ἀπαλοῦ καὶ νεαροῦ σωματος· ὁ τῆ ἀσεβεία κατα γηράσας ἐκεῖνος· καὶ τραχύτερος χινουγενομέν…

Kolumna prawa:

…ὡς δὲ γενναίως εώρα πρὸς τὰς αὐτοῦ πονηρας ἐπινοίας ἀπομαχομενον τὸν ἄνττητον· κλιβάνω πυριφλέγει τοῦτον ἐγκλείει· καὶ εἰς τρίτην ἡμέραν ἀφίησι· σποδὸ αὐτῶ τὸ σῶμα γενέσθαι, ὅσον ἀπὸ του παφλαζοτος ἐκείνουκλιβάνου οἰόμενος· ἀσύνετας γὰρ ὧν ἀληθὼς οὐ συνῆκε: οἷαν αἰδω καὶ τὰ ἀλογά ταῦτα στοιχεια, τοῖς λογωτετιμημένοις ἡμῖν ἀπονέμει· ὁ τε δηλονότι λογισμῶ σώφρονι χρώμενος τὰ πρὸς θεραιστὸς πείαν του θεου λόγουκαι· ἀυτοὶ, αιγρου μεθάτε καὶ ἀσπαζόμεθα· ἐπεὶ δὲ τελος ἡ τρίτη ἐλαμμανεν. ἠνοίγετο μὲν του κλιβάνου τὸ στόμιον ὥρατο δὲ σῶος ὁ ἀθλητὴς· μὴ δὲ βραχύτι τοῦ παραι…

Strona 398

Kolumna lewa:

…ἐκεῖνεν ὂν λυπήσαντος·

Τοῦτο γενόμενον τὸ παραδοξον· ἄλλον μέν τινα τὴν κακίαν ἰάσιμον· ὡς ἁλιεα πληγέντα. νουν ἀνενεγκεῖν παρεσκεύασεν ἄν· τῶ δὲ καὶ μάλλον· ὑπέκκαυμα τῆς πονηρίας ἐδείχθη καὶ νῦν μὲν φυλακῆ τὸν μάρτυραδίδωσι· εἰς δὲ τὴν ἐπιοῦσαν. σαρκοβόροις θηρσί εἰς τροφὴν τοῦτον προτίθησιν· ἀλλ’ ἦν καὶ αὐθίσην θείαν χάριν ὁρᾶν, τὰ συνήθητερα τουργοῦσαν· λεοντες γὰρ καὶ ἄρκτοι κατα βρωμα μὲν αὐτὸν ποιήσασθαι ἐπαφείθησαν ἄλλα τὰς κεφαλὰς αὐτῶν ἅτέ τους προσκὺν οὐνϊὰς μιμούμενα ταυτι τὰ θηρια εἰς γῆν κλίναντα. τῶ τοῦ χριστου καλλινίκω μαρτυρι τὴν τιμὴν ἀπεδίδοσαν διὰ πάντων ὸν ἠττώμενος ὁ παράφορος γάραννος· ἐνι…

Kolumna prawa:

…τῶν παρεστώτων δημῖων· ξιφει διαχειρίσασθαι παρ’ αὐτο το βῆμα κελεύει τὸν εθλητήν· ὸς καὶ κατὰζενον αὐτου διελάσας τὸ ξίβους·τὴν πρὸς χριστον ἄγουσαν ὸδόν ἀπελθεῖν παρεσκεύασε· πρώτην ἐπὶ εἰκάδι του ἰανουαρί ἐπέχοντος· τὸ δὲ τούτου σῶμα τὸ τίμιον χριστιανοι ἀνελόμενοι ἐν ἐπισήμωτον πωκατέθεντο· ἀλλ’ ὢ χριστου μᾶρτυς νεόφυτε, ὠ, πίστω ἡμων ἀνακτι· τὰ κατ’ ἔφεσιν παρεχει.

μαχιμωτάτων βαρβάρων κατάλυσιν· Ἰησοῦν Χριστὸν ἐν παντοίοις πολέμοις ἄνττητον·

χεῖρα θεου συμμαχοῦσαν ἐν περιστάσεσιν·· ἀιωνίου βασιλείας μετατελὸς ἀπόλαυσιν. ἡς ἐκλεκτοὶ πάντες ἠν μεδεξιν λάβωσι· λαμπρότητὰ θεου καὶ ἴδειν καὶ παθεῖν ἀξιούμενοι· τρὸς ἦν καὶ ἡμεῖς καταντήσαιμεν· χάριτι καὶ φιλανία τοῦ κυριου ἡμῶν Ἰησοῦ Χριστου ὦ ἡ δόξα εἰς αἰῶν ἀμῆν +

Całość tekstu greckiego

+ ἄθλησις τοῦ ἁγιου καὶ ἐνδόξου μεγαλομαρτυρος νεοφυτου+

πολλοῖς μὲν ἡ νικαέων πολις καὶ ἄλλοις λαμπρύνεται· ὅτι τε τοὺς πρώτους τῆς εὐσεβείας προμάχους τοὺς θείους λέγω πατέρας ἑαυτὴν ἑαυτὴν συνήγορον· καὶ ὅτι τὰ δόγματα τῆς ὀρθῆς πίστεως πρώτη καλῶς δοξαμένη· καὶ ταῖς πανταχού τῆς οἰκουμένης δι᾽ αὐτῶν διεπέμψατο πόλεσιν· ἐῶ γὰρ λέγειν τειχῶν τε στερρότητα· καὶ θέσεως αὐτῆς κοσμιότητα· πλῆθος τε οἰκητόρων, καὶ τὴν ἐν καλῶν τῶν ὡρῶν οἰκοδομὴν καὶ καθίδρυσιν·

Τούτοις μὲν οὖν, ὡς ἔφην, αὔχει πᾶσι καὶ ἐναβρύνεται· τὸ δὲ μεῖζον αὐτῇ τὸ κλέος καὶ τὴν δόξαν περιποιούμενον τε καὶ μνηστευόμενον, ὁ ἐν μάρτυσιν, ὡς αὖτις ἥλιος ἐν ἄστροις, φαιδρὸν καὶ ἥδιστον ἀπολάμπων, Νεόφυτος. Ταύτης γὰρ οὗτος χρηματίζει καρπός· Νεόφυτος, ὁ ἐν νέῳ πάνυ καὶ ἀπαλῷ σώματι τὸν παλαιὸν τὴν κακίαν καταβαλὼν ἡμῶν πολέμητορα. Φυτὸν γὰρ εὐσεβῶν γονέων γενόμενος, Θεόδωρος καὶ Φλωρεντία τούτοις ἦν τὰ ὀνόματα, νεώσας ὤφθη ἐκ πρώτης ἑαυτοῦ τῆς ἡλικίας τῶν ἀρετῶν τὰ νεώματα, πείρας τε εἰς δικαιοσύνην καὶ τοὺς καρποὺς ἐν ἀσφαλεῖ ταμιευτοῖς οὐρανοῖς καταθέμενος, ὡς προϊὼν ὁ λόγος διδάξει σαφέστερον. Ἤδη μὲν γὰρ γεννηθεὶς καὶ τῷ θείῳ βαπτίσματι ἀναγεννηθείς, ἐπεὶ τὴν φρονοῦσαν ἀπέλαβεν ἡλικίαν, εἰς διδασκάλου φοιτᾶν ὑπὸ τῶν γεννητόρων προτρέπεται καὶ γνῶσιν μαθημάτων ἐμπορευόμενος οὐδὲν ἧττον καὶ ἀρετῆς ἐπεμελεῖτο, ἀπὸ γραμμῆς, ὡς ἄν τις εἴποι, καὶ τοῦ βίου τῶν προοιμίων καὶ τὴν κτῆσιν αὐτῆς ἀσπασάμενος. Ἕνατον γὰρ ἄγων ἔτος τῆς ἡλικίας τοὺς συμφοιτητὰς ἐξεπαίδευε τὴν εὐσέβειαν καὶ πᾶν εἴ τι καλὸν καὶ Θεῷ φίλον ὑπετίθει ποιεῖν, ταῖς αὐτῷ χρηματίσας οὐ κατὰ τὸν Σαμουὴλ πρὸ γενέσεως, ἀλλ᾽ ἐκ τῆς ἰδίας μάλιστα προαιρέσεως· ἐντεῦθεν καὶ μεγίστων παιδόθεν χαρισμάτων ἠξίωται.

Τροφὴν μὲν γὰρ τὴν παρὰ τῶν γονέων τούτῳ διδομένην ἑαυτῷ τε καὶ τῶν συσχόλων παίδων τοῖς ὀρφανίᾳ δυστυχοῦσιν ἀπένειμε· συσσίτους τε αὐτοῦ φιλανθρώπως τούτους ποιούμενος· ποτὸν δὲ παραδόξως ἐκ πέτρας αὐτοῖς ἀπάσης ἑκάστης ἡμέρας χορηγῶν ἦν ὁ μακάριος, Μωσαϊκήν τινα θαυματουργίαν ἀντελῶν. Ὡς ἐντεῦθεν γνωσθήσεται· πρὸς γὰρ τῷ τῆς πόλεως τείχει τοῖς παισὶ σύναμα γινόμενος, καὶ τῶν ἐν αὐτῷ λίθων ἕνα τῇ χειρὶ κρούων, ὕδωρ ἐκπέμπειν ἐποίει φρικτῶς, ἱκανὸν τε πιεῖν. Καὶ κάλλιστον ὄντως ἰδεῖν· τὸ δὲ παραδοξότερον, ὅτι οὓς ἔτρεφε παῖδας, καὶ τῷ ὕδατι τούτῳ ἐπότιζεν, οὐδενὸς εἶχον ἑτέρου χρείαν βρώματος ὅλως ἢ πόματος, τοῖς παρ᾽ αὐτοῦ μόνοις ἀρκούμενοι, καὶ ὡς πολυτελεῖ πανδαισίᾳ τε καὶ φιλοτησίᾳ τούτοις εὐφραινόμενοι. Τοιαῦτα θαυμαστῶς τελῶν ὁ θαυμαστὸς νεανίας Νεόφυτος, ἄγνωστα τοῖς ὁμηλίξι παρ᾽ ἑαυτοῖς ταῦτα κατέχειν ἐκέλευε.

Ἀλλ᾽ ὁ πάντων Πατὴρ διὰ φιλανθρωπίαν ὑπάρχων καὶ Θεὸς ἀγαθός, καὶ τῇ τούτου μητρὶ δι᾽ ὀνείρατος φανερὰ καθίστησι τὰ μὴ γνώριμα, φωτὸς δὲ μᾶλλον ἐπάξια. Ὄρθρου δὲ ἀναστᾶσα καὶ τῇ κλίνῃ τοῦ θείου παιδὸς ἐπιστᾶσα, περιστερᾶς ὀξυτέρου θεάματος ἄνωθεν ἐπικαταπταμένης ὁρᾷ, καὶ τὴν κλίνην τοῦ υἱοῦ κύκλῳ περιπετομένην καὶ καλῶς περιέπουσαν. Φόβῳ δὲ συσχεθεῖσα μεγάλῳ, ἅτε καὶ ἀνθρωπίνως περιστερᾶς φθεγγομένης καὶ τὰ κατὰ τὸν ἅγιον διδασκούσης, πρηνὴς εἰς γῆν καταβάλλει καὶ τὴν ψυχὴν ἀφαιρεῖται παραυτίκα, τῇ ἐξαισίᾳ ταύτῃ θεωρίᾳ θανοῦσα.

Οὐχ ὡς ἄν τις ὑπολάβοι τοιαύτης ὄψεως καὶ φωνῆς ἀναξία τυγχάνουσα, τὴν δὲ τοῦ υἱοῦ ἀρετὴν τοὺς ἀγνοοῦντας πάντας νεύματι θείῳ διδάξαι ὀφείλουσα. Πολλοῦ γὰρ ὄχλου συνδραμόντος ὡς περὶ εἰκός, καὶ τοῦ πατρὸς αὐτοῦ κοπτομένου τὴν τῆς γυναικὸς ἄωρον τελευτήν, ὁ καλὸς τῷ ὄντι Νεόφυτος καλὰ τὰ τροφεῖα τοῖς καλοῖς πάντως γονεῦσι διὰ τῆς πρὸς Θεὸν παρρησίας ἠξιωμένος ἀποδιδόναι, τὴν μητέρα θᾶττον ἢ τὸν ὑπνοῦντα εὐχῇ μόνῃ διανιστᾷ. Τοῦτο τὸ θαυμαστὸν καὶ παράδοξον ἐννέα γεγονὼς ἔτη ὁ θεῖος Νεόφυτος κατεπράξατο· δεκάτου δὲ τῆς ἡλικίας ἤδη χρόνου

ἀψάμενος, τὸ τοῦ Ὀλύμπου ὄρος, θεόθεν κινούμενος τε καὶ ὁδηγούμενος, ἄνεισιν, ἐπεὶ καὶ τὴν ὀφθεῖσαν τῇ μητρὶ περιστερὰν μεθ' ἑαυτοῦ προοδοποιὸν οὖσαν εἶχεν καὶ ἐδεικνύετο.

Ἐν δὲ τῶν ἐκεῖσε σπηλαίων εἰς δύς, ὃ λέοντος ὑπῆρχε διατριβή, τῇ τῆς περιστερᾶς εἰσελεύσει καὶ τῇ τοῦ θηρὸς ἐκχωρήσει κατοικίαν ὁ μακάριος ἐποιήσατο. Δι' ὅλου τοῦ δεκάτου χρόνου ἐν αὐτῷ διῃτᾶτο, τῇ ἀσκήσει τῶν ἀγαθῶν ἁπάντων προσκείμενος καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενος, ἀγγέλου περὶ δείλην ὀψίαν καθ' ἑκάστην ἡμέραν τροφὴν τούτῳ κομίζοντος. Ἐνδεκάτου δὲ τῆς ἡλικίας αὐτοῦ διαγεγονότος ἑνιαυτοῦ, ὑπὸ ταύτην ἐκείνην τὴν πρώτην ἡμέραν, δι' ἀποκαλύψεως θείας ἐκλιπὼν τὸ ὄρος εἰς τὸν ἴδιον οἶκον φοιτᾷ· καὶ τοὺς γεννήσαντας ἀσπασάμενος, καὶ ἐκ τῶν ὑπαρχόντων αὐτοῖς ἐπὶ πολλαῖς ἡμέραις πολλὰ χορηγήσας τοῖς ἐνδεέσιν, αὖθις τῷ ῥηθέντι ὄρει προσβαίνει καὶ διέτριβεν ἐν ᾧ καὶ πρότερον σπηλαίῳ, τῆς προτέρας ἀπολαύων ἡσυχίας, καὶ πάλιν ἀγγέλου διακονοῦντος αὐτῷ τῆς θείας ἐκείνης μετέχων τροφῆς, ἀμβροσίας δὲ μᾶλλον εἰπεῖν οἰκειότερον.

Ταύτῃ δ᾽ ἐτρέφετο ἐφ᾽ ὅλοις ἔτεσι πέντε σχεδόν, ἐφ᾽ ὅσοις δηλονότι καὶ τὸ ὄρος αὐτὸν διαιτώμενον εἶχεν, ὥστε συνάγεσθαι τούτῳ τὰ πάντα τῆς ἡλικίας ἔτη πέντε πρὸς τοῖς δέκα. Τὰ δὲ τούτων ἑξῆς· διωγμὸς κατὰ Χριστιανῶν χαλεπὸς καὶ βαρύτατος, Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τὴν Ῥωμαίων βασιλείαν ἐχόντων, τῶν τοῦ ἀληθινοῦ Βασιλέως Χριστοῦ πολεμίων καὶ δυσμενῶν. Γράμματα δὲ αὐτῶν καὶ προστάγματα καθ᾽ ὅλης τῆς ὑπηκόου, τὰ διακελευόμενα πᾶσι θυσίας προσφέρειν τοῖς μὴ οὖσι θεοῖς, ἢ κακῶς τοῦ ζῆν ἀπαλλάττεσθαι. Δεκίου δέ τινος ἀνδρὸς μιαροῦ τε καὶ δεισιδαίμονος τὴν Βιθυνῶν ἡγεμονίαν πεπιστευμένου, καὶ σφόδρα τοῖς πιστοῖς ἐπιτιθεμένου, βασάνους τε δεινὰς καὶ ἀφορήτους κατ᾽ αὐτῶν ἐπινοουμένου, ὁ γενναῖος τοῦ Χριστοῦ στρατιώτης Νεόφυτος, προτροπῇ τοῦ τρέφοντος καὶ φρουροῦντος ἀγγέλου, τοῦ ὄρους ἀπάρας, εὐθὺς τῆς Νικομηδείας ἐχώρει· τῇδε γὰρ ὁ ἀσεβὴς ἡγεμὼν Δέκιος διέτριβε, θυσιάζων τοῖς δαίμοσιν.

Ὡς δὴ καὶ κατ᾽ ὄψιν γενόμενος, πεπαρρησιασμένῃ ψυχῇ καὶ φωνῇ κατηνείδιζε τὴν ἀσέβειαν, ὕβρεσί τε πολλαῖς πλύνων, καὶ σκότους υἱὸν τε καὶ κληρονόμον ἐπὶ πολλῶν τῶν συνειλεγμένων ἀποκαλῶν. Ὅθεν καὶ τὸν ἐκείνου θυμὸν ἐφ᾽ ἑαυτὸν ὅλον ἐξεκαλέσατο. Παραυθὺς γὰρ κρεμασθέντα βουνεύροις ἐκέλευεν ὁ κατάρατος τὸν μακάριον τύπτεσθαι, ἐπὶ τοσοῦτον, ἕως μίαν αὐτῷ πληγὴν τὸ σῶμα εἰργάσατο. Εἶτα κράματος γενέσθαι προστάξας ὄξους τε καὶ ἅλμης, πολὺ τοῦ μάρτυρος ὅλου καταχέαι τοῖς ὑπηρετουμένοις ἐπέτρεπεν· οὐδὲ γὰρ ἔλεον ὅλως ἐλάμβανεν, οὕτως ἀπαλοῦ καὶ νεαροῦ σώματος, ὁ τῇ ἀσεβείᾳ καταγηράσας ἐκεῖνος καὶ τραχύτερος χίνου γενόμενος. Ὡς δὲ γενναίως ἑώρα πρὸς τὰς αὐτοῦ πονηρὰς ἐπινοίας ἀπομαχόμενον τὸν ἀήττητον, κλιβάνῳ πυρὶ φλεγομένῳ τοῦτον ἐγκλείει, καὶ εἰς τρίτην ἡμέραν ἀφίησι, σποδὸν αὐτοῦ τὸ σῶμα γενέσθαι, ὅσον ἀπὸ τοῦ παφλάζοντος ἐκείνου κλιβάνου οἰόμενος. Ἀσύνετος γὰρ ὢν ἀληθῶς οὐ συνῆκε, οἵαν αἰδῶ καὶ τὰ ἄλογα ταῦτα στοιχεῖα τοῖς λόγῳ τετιμημένοις ἡμῖν ἀπονέμει. Ὁ δὲ δηλονότι λογισμῷ σώφρονι χρώμενος τὰ πρὸς θεραπείαν τοῦ Θεοῦ Λόγου, αὐτὰ καὶ γηρύμεθα καὶ ἀσπαζόμεθα. Ἐπεὶ δὲ τέλος ἡ τρίτη ἐλάμβανεν, ἠνοίγετο μὲν τοῦ κλιβάνου τὸ στόμιον, ὡρᾶτο δὲ σῷος ὁ ἀθλητής, μηδὲ βραχύ τι τοῦ πυρὸς ἐκείνου λυπηθείς.

Τοῦτο γενόμενον τὸ παράδοξον, ἄλλον μέν τινα τὴν κακίαν ἰάσιμον, ὡς ἀλιέα πληγέντα, νοῦν ἀνενεγκεῖν παρεσκεύασεν ἄν· τῷ δὲ καὶ μᾶλλον ὑπέκκαυμα τῆς πονηρίας ἐδείχθη. Καὶ νῦν μὲν φυλακῇ τὸν μάρτυρα δίδωσι, εἰς δὲ τὴν ἐπιοῦσαν σαρκοβόροις θηρίοις εἰς τροφὴν τοῦτον προτίθησιν. Ἀλλ᾽ ἦν καὶ αὖθις θείαν χάριν ὁρᾶν τὰ συνήθη τερατουργοῦσαν· λέοντες γὰρ καὶ ἄρκτοι κατὰ βρῶμα μὲν αὐτὸν ποιήσασθαι ἐπαφείθησαν, ἀλλὰ τὰς κεφαλὰς αὐτῶν, ἅτε τοὺς προσκυνοῦντας μιμούμενα, ταῦτα τὰ θηρία εἰς γῆν κλίναντα τῷ τοῦ Χριστοῦ καλλινίκῳ μάρτυρι τὴν τιμὴν ἀπεδίδοσαν. Διὰ πάντων οὖν ἡττώμενος ὁ παράφορος τύραννος, ἐν ἑνί τινι τῶν παρεστώτων δημίων ξίφει διαχειρίσασθαι παρ᾽ αὐτὸ τὸ βῆμα κελεύει τὸν ἀθλητήν· ὃς καὶ κατὰ ξένον αὐτοῦ διελάσας τὸ ξίφος, τὴν πρὸς Χριστὸν ἄγουσαν ὁδὸν ἀπελθεῖν παρεσκεύασε, πρώτην ἐπ᾽ εἰκάδι τοῦ

Ἰανουαρίου ἐπέχοντος. Τὸ δὲ τούτου σῶμα τὸ τίμιον Χριστιανοὶ ἀνελόμενοι ἐν ἐπισήμῳ τόπῳ κατέθεντο.

Ἀλλ᾽, ὦ Χριστοῦ μάρτυς Νεόφυτε, ὦ πιστὲ ἡμῶν ἀντιλήπτωρ, τὰ κατ᾽ ἔφεσιν παρέχοις. μαχιμωτάτων βαρβάρων κατάλυσιν· Ἰησοῦν Χριστὸν ἐν παντοίοις πολέμοις ἀήττητον· χεῖρα Θεοῦ συμμαχοῦσαν ἐν περιστάσεσι· αἰωνίου βασιλείας μεταλαβεῖν ἀπόλαυσιν, ἧς ἐκλεκτοὶ πάντες εἴημεν μέθεξιν λαβεῖν, λαμπρότητα Θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν ἀξιούμενοι· πρὸς ἣν καὶ ἡμεῖς καταντήσαιμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. ✠

Przekład na język polski

Męczeńskie zmagania świętego i chwalebnego wielkiego męczennika Neofita.

Miasto Nicejczyków jaśnieje wieloma i rozlicznymi zasługami. Przede wszystkim dlatego, że było obrońcą pierwszych bojowników o pobożność – mam na myśli świętych Ojców. Ponadto dlatego, że jako pierwsze wsławiło się wyznaniem prawowiernej wiary i za ich pośrednictwem rozesłało jej naukę do miast całego zamieszkanego świata. Pomijam już wspominanie o potędze jego murów, o pięknie jego położenia, o liczbie mieszkańców oraz o wspaniałości i trwałości jego budowli.

Tymi wszystkimi przymiotami więc, jak powiedziałem, miasto się chlubi i nimi się szczyci. Lecz jeszcze większą sławę i chwałę przynosi mu Neofit, który jaśnieje pośród męczenników niczym słońce pośród gwiazd, promieniując blaskiem najświetniejszym i najmilszym. On bowiem jest owocem tego miasta – Neofit, który już w bardzo młodym i delikatnym ciele obalił naszego dawnego nieprzyjaciela, sprawcę zła.

Urodził się z pobożnych rodziców; nosili oni imiona Teodor i Florencja. Już od pierwszych lat swego życia ukazywał pierwsze pędy cnót, a podejmując wysiłki na drodze sprawiedliwości, składał ich owoce w bezpiecznych skarbcach niebieskich, jak dalszy ciąg opowiadania wyjaśni jeszcze dobitniej.

Skoro zaś narodził się cieleśnie i odrodził przez święty chrzest, a osiągnął wiek zdolny do rozumnego poznania, rodzice oddali go pod opiekę nauczyciela. Zdobywając wiedzę i nauki, nie mniej gorliwie troszczył się o postęp w cnocie. Już od samego początku – można by powiedzieć – całe wprowadzenie jego życia zapowiadało to, czym miał się stać.

Gdy bowiem ukończył dziewiąty rok życia, pouczał swoich współuczniów o pobożności i zachęcał ich do wszystkiego, co dobre i miłe Bogu. Nie było to, jak w przypadku Samuela, jeszcze przed narodzeniem, lecz przede wszystkim owoc jego własnej, świadomej decyzji. Dlatego już od dzieciństwa został uznany za godnego największych darów Bożych.

Pokarm, który otrzymywał od swoich rodziców, rozdzielał nie tylko dla siebie, lecz także pomiędzy swoich współuczniów, oddając go zwłaszcza tym, których dotknęło nieszczęście sieroctwa. Czynił ich uczestnikami swojego stołu i z prawdziwą miłością otaczał ich opieką.

Błogosławiony w cudowny sposób dostarczał im każdego dnia napoju, wyprowadzając wodę ze skały i dokonując w ten sposób cudu podobnego do cudu Mojżesza. O tym przekonamy się z dalszego opowiadania.

Gdy bowiem przebywał wraz z chłopcami przy murze miasta, uderzył ręką w jeden z kamieni tego muru i w sposób budzący grozę sprawił, że wytrysnęła z niego woda, obficie wystarczająca do picia. Widok ten był naprawdę godny podziwu. Jeszcze bardziej zadziwiające było jednak to, że chłopców, których żywił, poił właśnie tą wodą. Nie potrzebowali oni już żadnego innego pokarmu ani napoju, zadowalając się jedynie tym, co od niego otrzymywali, i radując się tym jak najwspanialszą ucztą oraz ucztą przyjaźni. Takich cudów dokonywał ów godny podziwu młodzieniec Neofit. Polecał jednak swoim rówieśnikom zachować te wydarzenia w tajemnicy i nikomu o nich nie opowiadać.

Lecz Ojciec wszystkich, który z natury jest miłośnikiem ludzi i dobrym Bogiem, objawił matce chłopca we śnie to, co dotąd było przed nią ukryte, a co bardziej godne było światła niż pozostawania w ukryciu. Gdy więc o świcie wstała i podeszła do łoża świętego dziecka, ujrzała zstępującą z góry gołębicę, której widok był niezwykły. Zobaczyła, jak krąży wokół posłania jej syna i z troską je osłania. Ogarnął ją wielki lęk, tym bardziej że gołębica przemawiała ludzkim głosem i wyjawiała tajemnice dotyczące świętego. Wówczas padła twarzą na ziemię i natychmiast wyzionęła ducha, umierając pod

wpływem tego niezwykłego widzenia. Nie dlatego jednak, by – jak mógłby ktoś sądzić – okazała się niegodna takiego widzenia i takiego głosu. Przeciwnie, miała stać się narzędziem Bożego zamysłu, aby za sprawą Bożego natchnienia objawić wszystkim, którzy jeszcze nie znali, cnotę jej syna. Gdy bowiem, jak należało się spodziewać, zgromadził się liczny tłum, a jego ojciec opłakiwał przedwczesną śmierć swojej małżonki, wówczas Neofit, prawdziwie godny swego pięknego imienia, uznał za stosowne odwdzięczyć się swoim dobrym rodzicom za otrzymane wychowanie, korzystając ze śmiałości, jaką miał przed Bogiem. Samą tylko modlitwą przywrócił matkę do życia szybciej, niż budzi się człowieka pogrążonego we śnie. Tego właśnie niezwykłego i zdumiewającego cudu dokonał boski Neofit, mając zaledwie dziewięć lat.

A gdy wszedł już w dziesiąty rok życia, poruszany i prowadzony przez samego Boga, udał się na górę Olimp. Towarzyszyła mu bowiem gołębica, która wcześniej ukazała się jego matce i która teraz prowadziła go niczym przewodniczka na jego drodze. W jednej z tamtejszych grot, która dotąd była legowiskiem lwa, błogosławiony urządził sobie mieszkanie. Stało się to dzięki wejściu gołębicy i ustąpieniu dzikiego zwierzęcia.

Przez cały dziesiąty rok życia przebywał w tej grocie, oddając się gorliwie wszelkim ćwiczeniom w cnocie i nieustannie wznosząc swoje serce ku Bogu. Każdego dnia, o porze wieczornej, anioł przynosił mu pokarm.

Gdy zaś upłynął jedenasty rok jego życia, w owym pierwszym dniu, zgodnie z Bożym objawieniem, opuścił górę i udał się do rodzinnego domu. Pozdrowiwszy swoich rodziców i rozdawszy ubogim wiele z ich majątku, tak aby wystarczyło na wiele dni, ponownie powrócił na wspomnianą górę. Tam znów zamieszkał w tej samej grocie, w której przebywał wcześniej, ciesząc się dawną ciszą i samotnością. Ponownie usługiwał mu anioł, który dostarczał mu ów niebiański pokarm – a trafniej byłoby powiedzieć: ambrozję.

Tym pokarmem żywił się przez niemal pięć pełnych lat – przez cały czas, jaki spędził na górze. Tak więc łączna liczba lat jego życia osiągnęła piętnaście.

Poźniej zaś miały miejsce następujące wydarzenia.

Rozpętało się ciężkie i niezwykle okrutne prześladowanie chrześcijan za panowania Dioklecjana i Maksymiana, nieprzyjaciół i zawziętych przeciwników Chrystusa, prawdziwego Króla. Rozesłano po całym cesarstwie ich pisma i edykty, nakazujące wszystkim składać ofiary tym, którzy nie są bogami; kto zaś odmówił, miał zostać pozbawiony życia w okrutny sposób.

Zarząd prowincji Bitynii powierzono pewnemu Decjuszowi, człowiekowi bezbożnemu i przesądnemu. Z całą zaciekłością występował on przeciw wiernym, wymyślając dla nich straszliwe i nieznośne tortury.

Wówczas dzielny żołnierz Chrystusa, Neofit, za natchnieniem i zachętą anioła, który go żywił i strzegł, opuścił górę i udał się prosto do Nikomedii. Tam bowiem przebywał ów bezbożny namiestnik Decjusz, składając ofiary demonom.

Kiedy więc stanął przed nim twarzą w twarz, z duszą pełną odwagi i donośnym głosem zaczął otwarcie piętnować jego bezbożność. Obsypywał go licznymi obelgami, na oczach całego zgromadzonego tłumu nazywając go synem ciemności i dziedzicem mroku. Dlatego też ściągnął na siebie całą wściekłość tamtego. Natychmiast przeklęty rozkazał zawiesić błogosławionego i chłostać go rzemieniami z byczej skóry. Bito go tak długo, aż całe jego ciało stało się jedną raną.

Następnie nakazał przygotować mieszaninę octu i solanki, a swoim sługom polecił obficie wylać ją na całe ciało męczennika. Nie znał bowiem najmniejszego współczucia dla tak delikatnego i młodego ciała – ten, którego własną duszę do głębi postarzyła bezbożność i uczyniła jeszcze bardziej twardą. Widząc jednak, że niezwyciężony młodzieniec mężnie odpiera wszystkie jego przewrotne zamysły, zamknął go w piecu rozpalonym ogniem i pozostawił tam aż do trzeciego dnia, przekonany, że od żaru płonącego pieca ciało męczennika obróci się w popiół.

Lecz będąc człowiekiem naprawdę nierozumnym, nie rozumiał, jak wielki szacunek okazują nawet nierozumne żywioły tym, których Bóg obdarzył rozumem i którzy służą Bożemu Słowu. My również słusznie wysławiamy i z czcią wspominamy tę prawdę.

Gdy nadszedł wreszcie trzeci dzień, otwarto wejście do pieca. Ukazał się zaś z niego atleta Chrystusa cały i zdrowy, nie doznawszy najmniejszej nawet szkody od owego ognia. To niezwykłe wydarzenie mogłoby skłonić każdego innego człowieka, choćby nawet głęboko pogrążonego w występku, do opamiętania i odzyskania rozsądku. Dla niego jednak stało się ono jedynie jeszcze większą podnietą do zła. Najpierw więc wtrącił męczennika do więzienia, a następnego dnia wystawił go na pożarcie dzikim, mięsożernym zwierzętom.

Lecz i tym razem można było oglądać łaskę Bożą dokonującą swoich zwykłych cudów. Lwy i niedźwiedzie wprawdzie zostały wypuszczone, aby go rozszarpać, jednak zamiast tego pochyliły głowy ku ziemi, naśladując tych, którzy oddają pokłon, i w ten sposób złożyły cześć zwycięskiemu męczennikowi Chrystusa. Widząc, że we wszystkim poniósł klęskę, szalony tyran rozkazał jednemu z obecnych katów zgładzić atletę Chrystusa mieczem tuż przy trybunale. Kat przebił go mieczem, przygotowując mu w ten sposób drogę prowadzącą do Chrystusa.

Stało się to dwudziestego pierwszego dnia stycznia. Czcigodne ciało męczennika zabrali chrześcijanie i złożyli je w miejscu otoczonym należną czcią.

A Ty, o męczenniku Chrystusa, Neoficie, o nasz wierny orędowniku, udzielaj nam tego, o co Cię z wiarą prosimy: pokonanie najwaleczniejszych barbarzyńców; niezwyciężoną pomoc Jezusa Chrystusa we wszelkiego rodzaju zmaganiach; wspierającą dłoń Boga we wszelkich przeciwnościach; a nade wszystko udział w radości wiecznego Królestwa.

Obyśmy wszyscy zostali uznani za godnych dostąpić w nim udziału, aby oglądać chwałę Boga i mieć w niej uczestnictwo.

Do tego Królestwa obyśmy i my doszli dzięki łasce i miłości ku ludziom naszego Pana Jezusa Chrystusa, któremu chwała na wieki wieków. Amen. ✠